## 19 ΦΕΒΡΟΥΑΡΙΟΥ

## Φιλοθέης ὁσιομάρτυρος τῆς Ἀθηναίας (†1589).

* * * * *

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὸν Ἑξάψαλμον,

Συναπτὴ μεγάλη, μεθ᾽ ἣν ἐκφώνησις·

Ὅτι πρέπει σοι πᾶσα δόξα...

Ἦχος Κε




Στίχ. α΄. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

Στίχ. β΄. Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.

Στίχ. γ΄. Παρὰ Κυρίου ἐγένετο αὕτη, καί ἐστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.




Ἀπολυτίκιον.

Ἦχος Κε






Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.




Συναπτὴ μικρά, μεθ' ἣν ἐκφώνησις·

Ὅτι σὸν τὸ κράτος...

* * *

## ΚΑΘΙΣΜΑΤΑ

### Μετὰ τὴν α´ Στιχολογίαν, Κάθισμα.

### Ἦχος α´. Τὸν τάφον σου Σωτήρ.

Ἡ χάρις τοῦ Χριστοῦ, ἡ σωτήριος πᾶσιν ἐποίησε μονὴν παρὰ σοί, Φιλοθέη, καὶ γέγονας παράδεισος ἀρετῆς καὶ σεμνότητος· βίον ἅγιον εὐεργετοῦσα διῆλθες καὶ τὸν στέφανον τοῦ μαρτυρίου ἐδέξω· διό σε γεραίρομεν.

Δόξα. Καὶ νῦν.

Θεοτοκίον. Ὅμοιον.

Μητέρα σε Θεοῦ ἐπιστάμεθα πάντες, παρθένον ἀληθῶς καὶ μετὰ τόκον φανεῖσαν, οἱ πόθῳ καταφεύγοντες πρὸς τὴν σὴν ἀγαθότητα· σὲ γὰρ ἔχομεν ἁμαρτωλοὶ προστασίαν, σὲ κεκτήμεθα

ἐν πειρασμοῖς σωτηρίαν, τὴν μόνην πανάμωμον.

Μετὰ τὴν β΄ στιχολογίαν. Κάθισμα.

Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Τῷ πνεύματι ζέουσα, Ὁσιομάρτυς Χριστοῦ, Κυρίῳ δουλεύουσα καὶ προσευχῇ ἐκτενεῖ ἐν κόσμῳ ἐβίωσας· ἔχαιρες τῇ ἐλπίδι, ὑπομένουσα θλίψεις, χρείαις δὲ τῶν ἁγίων ἐν σπουδῇ ἐκοινώνεις· διό περ καὶ νῦν τιμῶμεν πάντες τὴν μνήμην σου.

Δόξα. Καὶ νῦν.

Θεοτοκίον. Ὅμοιον.

Ταχὺ δέξαι, Δέσποινα, τάς ἱκεσίας ἡμῶν καὶ ταύτας προσάγαγε τῷ σῷ Υἱῷ καὶ Θεῷ, Κυρία Πανάχραντε· λῦσον τάς περιστάσεις τῶν εἰς σὲ προστρεχόντων, σκέδασον τάς ἐνέδρας καὶ τὰ θράση, Παρθένε, τῶν νῦν ἐφοπλιζομένων κατὰ τῶν δούλων σου.

Μετὰ τὸν Πολυέλεον Κάθισμα.

Ἦχος πλ. δ΄. Τὸ προσταχθέν.

Τοῦ μαρτυρίου τῷ στεφάνῳ κοσμουμένη καὶ ἐν τῷ αἵματί σου, μῆτερ, λελουμένη, τὸν Σωτῆρα ἱκέτευε, τὸν ὑπὲρ τοῦ κόσμου ἀκάνθαις στεφανωθέντα καὶ τὴν πλευρὰν νυγέντα καὶ θείῳ αἵματι τὴν ἀρὰν τῆς Εὔας ἀποπλύναντα καὶ τὴν ὁδὸν πρὸς οὐρανὸν καὶ αὖθις τὸν παράδεισον τοῖς ἀνθρώποις ἀνοίξαντα.

Δόξα. Καὶ νῦν.

Θεοτοκίον. Ὅμοιον.

Θεοχαρίτωτε, ἁγνή, εὐλογημένη, τὸν διὰ σπλάγχνα οἰκτιρμῶν ἐκ σοῦ τεχθέντα σὺν ταῖς ἄνω Δυνάμεσι καὶ τοῖς Ἀρχαγγέλοις καὶ πᾶσι τοῖς Ἀσωμάτοις ὑπὲρ ἡμῶν δυσώπει ἀκαταπαύστως, δοῦναι ἡμῖν πρὸ τοῦ τέλους διόρθωσιν καὶ ἱλασμὸν ἁμαρτιῶν καὶ βίου ἐπανόρθωσιν, ὅπως εὕρωμεν ἔλεον.

* * *

## ΑΝΑΒΑΘΜΟΙ, ΠΡΟΚΕΙΜΕΝΟΝ

Οἱ Ἀναβαθμοί· τὸ α΄ Ἀντίφωνον τοῦ δ΄ ἤχου.

Ἀντίφωνον Α΄.

Ἦχος Βου




σον Σω ω τη η ηρ μϒ ϒ
Ο ι μι σϒ ϒν τες Σι ω ω ων αι αι σχυ υν θη
η η τε ε ε ε ε α πο ο τϒ Κυ υ ρι
ι ι ϒ ϒ ως χο ο ο ο ο ορ το ο ο
ο ος γαρ πυ υ ρι ι ι ι ι ε ε σε ε ε
σθε ε ε ε ε α πε ξη ρα με ε ε νοι οι
Δ ο ξα Πα τρι και Υι ω ω και αι Α α γι
ι ω Πνε ευ μα α τι ι
Α γι ω Πνευ μα τι ι ι πα α α σα ψυ υ
χη ζω ω ου ου ου ται αι και κα α θα αρ σει
υ ψου ου ου ται αι λα α αμ πρυ υ νε ε ε ται
τη η Τρι ι α δι κη η μο ο να α α δι ι ι
ι ι Ι ε ε ρο κρυ υ φι ι ι ω ως
Κ αι νυν και α ει και εις τϒς αι ω νας των
αι ω ω νων α α μη ην
Α γι ω Πνευ μα α τι ι α να α βλυ υ υ




Προκείμενον. Ψαλμὸς λθ΄ (39).

Ἦχος Βου




Στίχ. α΄. Μακάριος ἀνήρ, οὗ ἐστι










Στίχ. β΄. Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου






* * *

## ΤΑΞΙΣ ΕΩΘΙΝΟΥ ΕΥΑΓΓΕΛΙΟΥ

Ὁ διάκονος· Τοῦ Κυρίου δεηθῶμεν.
Κύριε, ἐλέησον.
Ὁ ἱερεύς· Ὅτι ἅγιος εἶ, ὁ Θεὸς ἡμῶν, ...
Ἀμήν.

### Σταθερὸν Προκείμενον ὄρθρου.
### Ψαλμὸς ρν΄ (150).

Ἦχος Δι




Στίχ. α΄. Αἰνεῖτε τὸν Θεὸν ἐν τοῖς ἁγίοις αὐτοῦ, αἰνεῖτε αὐτὸν ἐν στερεώματι τῆς δυνάμεως αὐτοῦ.




Στίχ. β΄. Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις, αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ.




### Εὐαγγέλιον.

Ὁ διάκονος· Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι ἡμᾶς τῆς ἀκροάσεως τοῦ ἁγίου Εὐαγγελίου Κύριον τὸν Θεὸν ἡμῶν ἱκετεύσωμεν.
Κύριε, ἐλέησον. (γ΄)
Ὁ διάκονος· Σοφία· ὀρθοί· ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου.

Ὁ ἱερεύς· Εἰρήνη πᾶσι.
Καὶ τῷ πνεύματί σου.
Ὁ ἱερεύς· Ἐκ τοῦ κατὰ Ματθαῖον ἁγίου Εὐαγγελίου τὸ ἀνάγνωσμα.
Ὁ διάκονος· Πρόσχωμεν.
Δόξα σοι, Κύριε, δόξα σοι.
Καὶ ἀναγινώσκει ὁ ἱερεὺς τὸ Εὐαγγέλιον τοῦ Ὄρθρου τῆς ἑορτῆς ἀπὸ τῆς Ὡραίας Πύλης.

(Ματθ. στ' 19-21)

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· μὴ θησαυρίζετε ὑμῖν θησαυροὺς ἐπὶ τῆς γῆς, ὅπου σὴς καὶ βρῶσις ἀφανίζει, καὶ ὅπου κλέπται διορύσσουσι καὶ κλέπτουσι· θησαυρίζετε δὲ ὑμῖν θησαυροὺς ἐν οὐρανῷ, ὅπου οὔτε σὴς οὔτε βρῶσις ἀφανίζει, καὶ ὅπου κλέπται οὐ διορύσσουσιν οὐδὲ κλέπτουσιν· ὅπου γάρ ἐστιν ὁ θησαυρὸς ὑμῶν, ἐκεῖ ἔσται καὶ ἡ καρδία ὑμῶν.

Δόξα σοι, Κύριε, δόξα σοι.

Ὁ Προεστὼς ἢ ὁ Ἀναγνώστης τὸν ν´ ψαλμόν, χῦμα.

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.
Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.
Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διὰ παντός.
Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.
Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.
Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.
Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι· πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.
Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην· ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.
Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.
Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.
Μὴ ἀπορρίψῃς με ἀπὸ τοῦ προσώπου σου, καὶ τὸ Πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ.
Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου, καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.
Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι.

Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου· ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.
Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.
Ὅτι, εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.
Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον· καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.
Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.
Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα.
Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

Ἦχος Δι




Εἶτα, Ἰδιόμελον.

Ἦχος Δι

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου



μη μα α μȣ

Μέλος Ἀθανασίου Καραμάνη

Τον Σταυ ρον τȣ Χρι στȣ επ ω ω μων α α

α α ρα α α α σα και τοις ι χνε σιν αυ τȣ α

α κο λȣ ȣ θη η η σαα α α σα α πηρ νη σω

Φι λο θε ε η η σε α αυ τη η η ην και τα παν

α ντα σκυ βα α α λα α α η γη η η σω

ως ȣ δε εν ε ευ ρȣ ȣ σα της ψυ χη ης σȣ ȣ ȣ

αν τα α αλ λα α αγ μα α πω λε ε σα α ας

την ζω ην ι να σω ση ης τη ην ψυ υ υ χην

ε στε ρη η σαι φω το ο ο ος αι σθη η τȣ και τον

η λι ον της δο ξη ης ο ο ρα ας α αυ τον ι ι ι

κε τευ ε ε μη η τερ φω τι ι σαι τας ψυ υ χα α

α α α ας η η μω ω ω ων

Σῶσον, ὁ Θεός, τὸν λαόν Σου... Κύριε, ἐλέησον (ιβ΄). Ἐλέει καὶ οἰκτιρμοῖς... Ἀμήν.

* * *

## ΟΙ ΚΑΝΟΝΕΣ

Ὁ Κανὼν τῆς Θεοτόκου μετὰ τῶν Εἱρμῶν
εἰς στ΄, καὶ ὁ τῆς Ὁσιομάρτυρος εἰς η΄.
Κανὼν τῆς Θεοτόκου, οὗ ἡ ἀκροστιχίς·
*Χαίροις χαρᾶς σκήνωμα τῆς λύπης λύσις. Ἰωάν(νης) .*
Ὠδὴ α΄. Ἦχος πλ. δ΄.
Ὁ Εἱρμός.

Ἁρματηλάτην Φαραὼ ἐβύθισε, τερατουργοῦσα ποτέ, Μωσαϊκὴ ῥάβδος, σταυροτύπως πλήξασα, καὶ διελοῦσα θάλασσαν· Ἰσραὴλ δὲ φυγάδα, πεζὸν ὁδίτην διέσωσεν, ᾆσμα τῷ Θεῷ ἀναμέλποντα.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Χαῖρε κατάρας παλαιᾶς ἡ λύτρωσις καὶ εὐλογίας πηγή· χαῖρε, ζωῆς Μήτηρ, ᾅδου ἡ καθαίρεσις, θανάτου ἡ ἀναίρεσις· χαῖρε, λύσις τῆς λύπης, χαρᾶς χωρίον εὐρύχωρον· χαῖρε, Θεοτόκε Πανύμνητε.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ἅρμα τοῦ Λόγου λογικὸν καὶ ἔμψυχον, χαῖρε, πανάμωμε· δαυϊτικόν, χαῖρε, ἅρμα πολυώνυμον, ἅρμα μυριοπλάσιον, χαῖρε, Παρθένε, ὄντως τῶν Χερουβὶμ καὶ τῶν Σεραφὶμ ἡ ἀσυγκρίτως ὑπερέχουσα.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ἱερωτέρα νοερῶν Δυνάμεων, χαῖρε, Θεόνυμφε· χαῖρε, ἀνωτέρα κτιστῆς πάσης φύσεως· χαῖρε, Θεοῦ παλάτιον· χαῖρε, πύρινε θρόνε· χαῖρε, λυχνία πολύφωτε· χαῖρε, μυριώνυμε Δέσποινα.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ῥάβδος ἐκ ῥίζης Ἰεσσαὶ βλαστήσασα, χαῖρε, ἀμόλυντε· χαῖρε, βλαστῷ ῥάβδου τῆς ἀαρωνίτιδος διαγραφεῖσα πρότερον μυστικῶς καὶ βαθέως· ὡς γὰρ ἐκείνη ἐβλάστησεν, οὕτω τὸν Χριστὸν σὺ ἐγέννησας.

Ἕτερος Κανὼν τῆς Ὁσιομάρτυρος, οὗ ἡ ἀκροστιχίς·
*Μέλος σοι τερπνόν, ὦ Θεοῦ φίλη, ᾄδω. Ἰσαάκ.*
Ὠδὴ α΄. Ἦχος δ΄. Ἀνοίξω τὸ στόμα μου.

Στίχ. Ἁγία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Μονὰς ἃς ἐπόθησας τὰς οὐρανίους, θεόλεκτε, νῦν εὗρες καὶ ἔλαβες τῶν σῶν ἀγώνων μισθόν, οὓς ἠγώνισαι ἐν τῷ παρόντι βίῳ, εὐχαῖς καὶ δεήσεσι ταῖς πρὸς τὸν Κύριον.

Στίχ. Ἁγία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἐλέους σὺ ἄφθονος πηγή, Ὁσία, τεθέασαι, πτωχοὺς καταρδεύουσα πλουσιωτάταις ῥοαῖς· ὅθεν στέφανον σῇ κορυφῇ ἐδέξω, ἀνθ᾽ ὧνπερ ἐπόνησας, μῆτερ, ἐν βίῳ σου.

Δόξα.

Λαλεῖν σοι οὐ δύναμαι τῶν ἀρετῶν τὴν εὐπρέπειαν καὶ ὕψος τὸ

ἔνθεον, ᾧ ὡραΐσθης, σεμνή, καὶ ἀνύψωσας πρὸς τὰς ἐπουρανίους σκηνὰς καὶ δεδόξασαι παρὰ τοῦ Κτίσαντος.

Καὶ νῦν. Θεοτοκίον.

Τὴν πόλιν σου φύλαττε διὰ παντὸς εἰρηνεύουσαν, Μαρία Θεόνυμφε, ἣν ἡ Ὁσία ἡμῶν κατεκόσμησε, τοῖς πόνοις, τοῦ δοξάζειν τὸν ἄσπορον Τόκον σου καὶ σὲ, Πανάχραντε.

Κανὼν τῆς Θεοτόκου.

ᾨδὴ γ΄. Ὁ Εἱρμός.

Οὐρανίας ἁψῖδος, ὀροφουργὲ Κύριε, καὶ τῆς Ἐκκλησίας δομῆτορ, σύ με στερέωσον, ἐν τῇ ἀγάπῃ τῇ σῇ, τῶν ἐφετῶν ἡ ἀκρότης, τῶν πιστῶν τὸ στήριγμα, μόνε Φιλάνθρωπε.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ἰσχυρότατον ὅπλον, χαῖρε, πιστῶν, Δέσποινα· χαῖρε, κραταιὰ προστασία, χαῖρε, ἀντίληψις ἁμαρτωλῶν κραταιά· χαῖρε τὸ ἄρρηκτον τεῖχος, ἐν ᾧ καταφεύγοντες πάντες σῳζόμεθα.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Σωτηρίας ἀνθρώπων, χαῖρε, στερρὸν ἔρεισμα· χαῖρε, τοῦ Ἀδὰμ καὶ τῆς Εὔας ἡ ἐπανάκλησις, δι᾽ ἧς ἀπέλαβον νῦν τὴν παλαιὰν εὐκληρίαν· χαῖρε, ἡ ἀνοίξασα πάλιν Παράδεισον.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Χαῖρε, ἄφλεκτε βάτε· χαῖρε, φωτὸς ὄχημα· χαῖρε, τοῦ ἡλίου νεφέλη· χαῖρε, περίδοξε, ὅλη λαμπρὰ καὶ χρυσῆ, τοῦ Βασιλέως καθέδρα· χαῖρε, πόλις ἔμψυχε τοῦ Παντοκράτορος.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ἀπειρόγαμε Μῆτερ, χαῖρε, ἁγνὴ Δέσποινα· χαῖρε, ἡ ἀνήρωτος χώρα καὶ ἀγεώργητος, ἡ δεξαμένη ἐν σοὶ τὸν γεωργὸν τῶν ἁπάντων χαῖρε, γῆ ἀλήθειαν ἡ ἀνατείλασα.

Τῆς Ἁγίας. ᾨδὴ γ΄.

Ἦχος δ΄. Τοὺς σοὺς ὑμνολόγους.

Στίχ. Ἁγία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Σὺ τὸν πλοῦτον ἔνειμας, Ὁσία, τὸν σὸν δεομένοις, τὸν ῥευστόν· καὶ γὰρ ἐν τούτῳ, πάνσεπτε, καυχᾶσθαι οὐ προῄρησαι, ἀλλ᾽ ἀντὶ τούτου δέδεξαι σῇ κορυφῇ δόξης στέφανον.

Στίχ. Ἁγία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Σαῖς προσευχαῖς πρὸς τὸν Δεσπότην τὴν πόλιν περίσῳζε τὴν σήν, γεραίρουσάν σε, πάνσεμνε, ὡς θεῖον ἐνδιαίτημα ἐν οἴκῳ τοῦ Θεοῦ ἡμῶν, ὥς τε Ὁσίαν καὶ Μάρτυρα.

Δόξα.

Ὁδὸν τὴν ἀπάγουσαν εἰς ἄνω εὑροῦσα, διώδευσας σεμνῶς· ὅθεν καὶ πρὸς οὐράνιον ἐλήλυθας πολίτευμα καὶ τοῖς Ὁσίοις ἅπασιν, Ὁσία, συγκατηρίθμησαι.

Καὶ νῦν. Θεοτοκίον.

Ἰάσεις παρέχουσα παντοίας τοῖς πόθῳ τιμῶσί σου, Ἁγνή, τὸν Τόκον, τὸν ἐκ Πνεύματος Ἁγίου συλληφθέντα σοι, παράσχου καὶ τοῖς δούλοις σου ἡμῖν πταισμάτων τὴν ἄφεσιν.

Συναπτὴ μικρά, μεθ᾽ ἣν ἐκφώνησις·

Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν...

* * *

## ΜΕΣΩΔΙΑ ΚΑΘΙΣΜΑΤΑ

### Κάθισμα τῆς Ἁγίας.

### Ἦχος πλ. δ΄. Τὸ προσταχθέν.

Καταλιποῦσα τὰ τῆς γῆς, ὦ Φιλοθέη, μετέστης ἄνω πρὸς μονὰς τὰς οὐρανίους καὶ πρεσβεύεις σὺν πᾶσι τοῖς ἐπουρανίοις, ὁσίοις ἅμα δικαίοις καὶ τοῖς λοιποῖς, σὺν πᾶσι τε τοῖς Ἀγγέλοις καὶ Λειτουργοῖς καὶ κραυγάζεις τὸ Ἅγιος, Ἅγιος, Ἅγιος, Θεέ, πατὴρ ὁ ἐπουράνιος, σῷζε πάντας οὓς ἔπλασας.

Δόξα. Καὶ νῦν.

Θεοτοκίον. Ὅμοιον.

Θεοχαρίτωτε, Ἁγνὴ εὐλογημένη, τὸν διὰ σπλάγχνα οἰκτιρμῶν ἐκ Σοῦ τεχθέντα, σὺν ταῖς ἄνω Δυνάμεσι καὶ τοῖς Ἀρχαγγέλοις, καὶ πᾶσι τοῖς Ἀσωμάτοις ὑπὲρ ἡμῶν, δυσώπει ἀκαταπαύστως δοῦναι ἡμῖν, πρὸ τοῦ τέλους συγχώρησιν, καὶ ἱλασμὸν ἁμαρτιῶν, καὶ βίου ἐπανόρθωσιν, ὅπως εὕρωμεν ἔλεος.

Συναπτὴ μικρά, μεθ᾽ ἣν ἐκφώνησις·

Σὺ γὰρ εἶ ὁ βασιλεὺς τῆς εἰρήνης...

* * *

## ΚΟΝΤΑΚΙΟΝ, ΟΙΚΟΣ, ΣΥΝΑΞΑΡΙΟΝ

### Κοντάκιον. Ἦχος γ΄. Ἡ Παρθένος σήμερον.

Φιλοθέην σήμερον πανευφροσύνως τιμῶμεν καὶ αὐτῆς τὸ λείψανον πανευλαβῶς προσκυνοῦμεν· αὕτη γὰρ εὐεργετοῦσα ἐν γῇ διῆλθε, τέλος δὲ μαρτυρικὸν ἡ Ὁσία ἔσχε καὶ ἠξίωται πρεσβεύειν * δοθῆναι πᾶσι ζωὴν τὴν αἰώνιον.

### Ὁ Οἶκος

Πᾶσα γλῶσσα κινείσθω, πρὸς εὐφημίαν τῆς πανευφήμου Φιλοθέης, ἅπαν γένος καὶ ἡλικία πᾶσα, νεανίσκοι καὶ παρθένοι τοῦ Χριστοῦ, τὴν Ὁσιομάρτυρα ἐν ὕμνοις καταστέψωμεν· νομίμως γὰρ ἀνδρισαμένη, διὰ πόνων ἀσκητικῶν καὶ μαρτυρίου τὸν τύραννον ἐχθρὸν καταβέβληκεν· οὐρανίῳ δὲ διαδήματι κεκοσμημένη, αἰτεῖται παρὰ Χριστοῦ * δοθῆναι πᾶσι ζωὴν τὴν αἰώνιον.

### Συναξάριον.

Τῇ ΙΘ΄ τοῦ αὐτοῦ μηνός, μνήμη τῶν ἁγίων ἀποστόλων ἐκ τῶν Ο΄, Ἀρχίππου, Φιλήμονος καὶ Ἀπφίας. (α΄ αἰ.)

Στίχ. Ποθῶν τὸν ἀκρόγωνον Ἄρχιππος λίθον,
Κατηλοήθη τῷ πόθῳ τούτου λίθοις.

Χώραν φιλοῦντα τὸν Φιλήμονα χλόης,
Χλωροῖς λύγοις τύπτουσιν ἠκανθωμένοις.

Ἡπλωμένην παίουσιν εἰς γῆν Ἀπφίαν,
Εἰς οὐρανοὺς ἔχουσαν ὄμμα καρδίας.

Ἄρχιππος δεκάτῃ ἐνάτῃ θάνε χερμαδίοισιν.

Οὗτοι ὑπῆρχον ἐπὶ τῆς βασιλείας Νέρωνος, μαθηταὶ χρηματίσαντες Παύλου τοῦ Ἀποστόλου. Ἑορτῆς δὲ τῆς Ἀρτέμιδος ἀγομένης ἐν Κολασσαῖς, ἥτις ἐστὶ πόλις Φρυγίας, καὶ αὐτῶν τῷ Θεῷ τὴν δοξολογίαν ἀναφερόντων τῇ ἐκκλησίᾳ, ἐπιθέμενοι αὐτοῖς οἱ Εἰδωλολάτραι, τῶν ἄλλων φυγόντων, μόνων δὲ αὐτῶν ὑπομεινάντων, συνέσχον αὐτούς, καὶ ἤγαγον παρὰ Ἀνδροκλεῖ. Τύπτεται οὖν παραυτίκα ὁ Ἄρχιππος, καὶ μὴ πεισθεὶς θῦσαι τοῖς εἰδώλοις, εἰς βόθρον ἐμβάλλεται μέχρις ὀσφύος, καὶ οὕτω λιθολευστεῖται, πρότερον ὑπὸ παίδων ῥαφίσι κεντηθείς. Ὁ δὲ Ἅγιος Φιλήμων, καὶ ἡ Ἀπφία διαφόρως βασανισθέντες, τέλει βίου ἐχρήσαντο.

## Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῶν ἁγίων μαρτύρων Μαξίμου, Θεοδότου, Ἡσυχίου καὶ Ἀσκληπιοδότης.

Στίχ. Ἀνδρῶν τριὰς σύναθλος εὐσθενεστάτη,
Ἀνδρίζεταί σοι καὶ τομῆς, Τριάς, μέχρι.

Ἔστεψε Χριστὸς τὴν Ἀσκληπιοδότην,
Ἧς ἐξέκοψε τὴν κεφαλὴν τὸ ξίφος.

Οὗτοι, παραστάντες τῷ Ἄρχοντι, καὶ μὴ πεισθέντες τὸν Χριστὸν ἐξομόσασθαι, πολλαῖς αἰκίαις ὑπεβλήθησαν βασάνων, πρότερον μὲν ἐπὶ ξύλου ἀναρτηθέντες, καὶ ξεσθέντες σιδηροῖς ὄνυξιν· εἶτα ἐκ πόλεως εἰς πόλιν μεταφερόμενοι, καὶ περιελκόμενοι, θηρίοις ὠμοτάτοις ἐκδίδονται. Ἡ δὲ Ἀσκληπιοδότη πτερνισθεῖσα, καὶ ἐπὶ ξύλου τανυσθεῖσα, ὑπεράνω τῶν βασάνων ἐγένετο. Ὅθεν πάντες ὁμοῦ λίθοις βάλλονται, καὶ ἐν ἀλσώδεσι τόποις συρέντες, ξίφει τελειοῦνται.

## Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Ῥαβουλᾶ.

Στίχ. Βουλὰς Ῥαβουλᾶς θεὶς ἀπράκτους δαιμόνων.
Ἀπῆλθε βουλῇ τοῦ Θεοῦ τῶν ἐνθάδε.

Ὁ ἐν Ἁγίοις Πατὴρ ἡμῶν Ῥαβουλᾶς, ἐν τῇ πόλει Σαμοσατέων γεννᾶται, παρά τινος Βαρυψαβᾶ παιδευθείς, ἀνδρὸς ἐνδοξοτάτου. Ὃς τῇ Σύρων γλώττῃ διαλεγόμενος, καὶ ἐκ νεαρᾶς ἡλικίας πᾶσαν ἀρετὴν μετερχόμενος, τὸν μονήρη βίον ὑποδύεται, καὶ μονωθείς, ἐν ὄρεσι καὶ σπηλαίοις, κατὰ τὸν μέγαν Ἠλίαν καὶ Ἰωάννην τὸν Βαπτιστήν, διῆγε. Μετὰ δέ τινας χρόνους, γενόμενος ἐν Φοινίκῃ μεθ᾽ ἑτέρου τινός, ταῖς ἀρεταῖς διαυγέστερον λάμψας, καὶ μὴ βουλόμενος, ἐμφανὴς τοῖς μεγάλοις γίνεται. Διὸ τῇ συνεργείᾳ Ζήνωνος τοῦ Βασιλέως, καὶ Ἰωάννου Προέδρου τῆς Βηρυτοῦ, μέσον τοῦ ὄρους, μοναστήριον μέγα πεποίηκε.

Τότε δή, καθάπερ Παῦλος καὶ Βαρνάβας, ἢ εἰπεῖν Πέτρος καὶ Ἰωάννης, Ῥαβουλᾶς καὶ οἱ σὺν αὐτῷ μέσον τῶν εἰδωλομανούντων ἐλογίζοντο, πῇ μὲν ἐλέγχοντες, πῇ δὲ νουθετοῦντες, μικροῦ δεῖν πάντας τοὺς ἐκεῖσε κατοικοῦντας πρὸς θεογνωσίαν μετέβαλον. Τοῦτο δὴ πρῶτον ἔργον τοῦ μακαρίου ἐξαίρετον. Μετὰ δὲ Ζήνωνα, διαδέχεται τὰ σκῆπτρα τῆς

βασιλείας Ἀναστάσιος. Τῇ οὖν τούτου πάλιν συνεργείᾳ, ἕτερον μοναστήριον κατεσκεύασε τό, Ῥαβουλᾶ, προσαγορευόμενον. Μετὰ δὲ τούτων, καὶ ἕτερα πολλὰ μοναστήρια συνεστήσατο ἐν διαφόροις τόποις.
Ἦν δὲ ὁ μακάριος ἐν πᾶσι νηφάλιος, κόσμιος, ἐπιεικής, διδακτικός, ἀόργητος, συμπαθής, φιλάδελφος, καὶ πρὸς πάντας εὔσπλαγχνος. Οἵῳ δὲ πάθει ὁ πονηρὸς αὐτῷ ἐνοχλῶν ὑπεισήρχετο, αὐτός, πεπυκνωμένος ὢν ὑπὸ τῆς Παλαιᾶς καὶ Νέας Γραφῆς, τὸ ἀντίῤῥοπον ἐπιλέγων καὶ ἐργαζόμενος, ἐφυγάδευε τὸ ὀχλοῦν αὐτῷ· τοιοῦτος ἦν ὁ μακάριος. Ἔζησε δὲ μέχρις Ἰουστινιανοῦ τοῦ Βασιλέως, ἤγουν τοῦ μεγάλου, τοῦ τὴν Ἁγίαν Σοφίαν, οἰκοδομήσαντος. Καὶ γενόμενος ἐτῶν ὀγδοήκοντα, καὶ μικρόν τι προσβιούς, ἤκουσε φωνῆς ἄνωθεν λεγούσης αὐτῷ· Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς. Ταύτης ἐπακούσας, καὶ μικρὸν νοσήσας, ἀπῆλθε πρὸς Κύριον.

## Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῶν ὁσίων πατέρων ἡμῶν καὶ ὁμολογητῶν, Εὐγενίου καὶ Μακαρίου.

Στίχ. Ὡς εὐγενεῖς ὄρπηκες ἐν γῇ Μακάρων,
Οἰκοῦσιν Εὐγένιος σὺν Μακαρίῳ.

Ἰουλιανοῦ, κατὰ συγχώρησιν Θεοῦ, βασιλεύσαντος ἐν Βυζαντίῳ οἱ Χριστιανοὶ πάντες περιέκρυπτον ἑαυτούς, διὰ τὰς μυσαρὰς αὐτοῦ καὶ ἐναγεῖς θυσίας. Οἱ δὲ ὁμόφρονες αὐτῷ Ἕλληνες, οὐ μόνον ἀσελγοῦντες, σὺν αὐτῷ τοῦ αἰωνίου πυρὸς ὑπέκκαυμα ἑαυτοὺς παρεσκεύαζον, ἀλλὰ καὶ τοὺς Χριστιανοὺς τοῦτο ποιεῖν κατηνάγκαζον, καὶ μὴ θέλοντας. Τότε ὁ Μακάριος καὶ ὁ Εὐγένιος, οἱ τοῦ Χριστοῦ θεράποντες, κρατηθέντες, ὡμολόγησαν τὸν Χριστὸν ἐνώπιον αὐτοῦ Θεὸν εἶναι ἀληθινόν· αὐτὸν δὲ τὸν ἀσεβῆ καὶ ἀλάστορα ἤλεγξαν, ὡς παραβάντα τὴν ἐντολὴν τοῦ Θεοῦ, καὶ Ἕλληνα καὶ εἰδωλολάτρην γεγονότα.
Διὸ καὶ εἰς ὀργὴν τραπείς, ἱμάσι λεπτοῖς προστάξας δεθῆναι τούτους, ἐκρέμασε κατὰ κεφαλῆς· καὶ ἐπὶ πολλὰς ὥρας ἐκάπνιζεν αὐτοὺς δριμεῖαν κόπρον ὁ ἄθλιος. Εἶθ' οὕτως ἐσχάραν σφοδρῶς ἐκπυρώσας, ἐκεῖσε τοὺς Ἁγίους γυμνοὺς ἁπλωθῆναι ἐκέλευσεν. Οἱ δὲ μακάριοι, τὰ ὄμματα πρὸς οὐρανὸν ἄραντες, καὶ ὑπὸ Θείας δυνάμεως φυλαττόμενοι, ἤλεγχον τὴν κατακόνοιαν αὐτοῦ, ἀβλαβεῖς διαμένοντες. Τότε σιδηρώσας αὐτούς, ἐν Μαυριτανίᾳ εἰς ἐξορίαν ἀπέστειλεν. Οἱ δὲ Μάρτυρες, πορευόμενοι ἐν τῇ ἐξορίᾳ, ἔχαιρον ὑπὲρ Χριστοῦ διωκόμενοι, καὶ ψάλλοντες ὁμοῦ τό, Μακάριοι οἱ ἄμωμοι ἐν ὁδῷ, οἱ πορευόμενοι ἐν νόμῳ Κυρίου, ἠγαλλιῶντο τῷ πνευμάτι.
Φθάσαντες δὲ ἐκεῖσε, εἰς ὑψηλὸν τόπον ἀνῆλθον μόνοι διάγοντες. Οἱ δὲ ἐγχώριοι ἔλεγον αὐτοῖς· Ἐξέλθετε, ἀδελφοί, μακρὰν τῆς δε τῆς γῆς, ὅτι δράκων πονηρὸς οἰκεῖ ἐν αὐτῇ, τοῖς πλησιάζουσιν ὀλέθριος. Καὶ τῶν Ἁγίων, Ὑποδείξατε ἡμῖν, εἰπόντων, τὸ σπήλαιον, ἐν ᾧ τὴν οἴκησιν κέκτηται τὸ θηρίον· ἀπαγαγόντες αὐτούς, ὑπέδειξαν μακρόθεν τὸ σπήλαιον. Καὶ κλίναντες τὰ γόνατα ἐπ' ἐδάφους, προσηύξαντο οἱ μακάριοι. Καὶ εὐθέως ἀστραπῆς ἄνωθεν κατελθούσης, ἐνέπρυσε τὸν δράκοντα, προσφάτως αὐτὸν ἐκπηδήσαντα ἐπὶ τῷ φυγεῖν, ὥς τε καὶ τὸν χοῦν τῆς γῆς σὺν αὐτῷ κατακαυθῆναι, καὶ τὸν ἀέρα βιαίας πνοῆς λυμαντικῆς ἐμφορηθῆναι.
Τοῦτο τὸ θαῦμα οἱ ἐγχώριοι θεασάμενοι, Ἕλληνες ὄντες, ἐπίστευσαν ἐπὶ τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν. Καὶ εἰσελθόντες οἱ Ἅγιοι εἰς τὸ σπήλαιον τοῦ δράκοντος, προσηύχοντο, ἐφ' ὅλαις ἡμέραις τριάκοντα, μὴ ἔχοντές τι πρὸς

βρῶσιν καὶ πόσιν. Ἀλλ᾽ ἦλθε μετὰ ταῦτα φωνὴ λέγουσα· Δοῦλοι τοῦ ἀληθινοῦ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, προσέλθετε ταύτῃ τῇ πλησίον ἡμῶν πέτρᾳ. Οἱ δὲ προσχόντες, εἶδον φῶς ἐν αὐτῇ, καὶ ἐσχίσθη εἰς δύο μέρη, καὶ ἐξῆλθεν ὕδωρ πολύ· ἐξ οὗ ἀρυσάμενοι οἱ Ἅγιοι καὶ εἰς κόρον ἐμφορηθέντες, τῆς τε πείνης καὶ δίψης ἐκουφίσθησαν εὐθέως. Καὶ τῇ τριακοστῇ ἡμέρᾳ, ᾐτήσαντο διὰ προσευχῆς οἱ μακάριοι ἀναλῦσαι, καὶ σὺν Χριστῷ εἶναι· καὶ τῆς δεήσεως αὐτῶν ἐπακούσας ὁ Κύριος, μετέστησεν ἀμφοτέρους, δοξάζοντας καὶ εὐλογοῦντας αὐτόν.

## Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Μεσρὼπ τοῦ μεταφραστοῦ, διδασκάλου τῆς ἐν Ἀρμενίᾳ Ἐκκλησίας. (†439)

Στίχ. Ποθῶν οἰκοδομὴν Μεσρὼπ Ἐκκλησίας,
Ἀνάπαυσιν οὐκ ἔδωκε τοῖς κροτάφοις.

## Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Κόνωνος τοῦ Ἰορδανίτου.

Στίχ. Κόνων Ὅσιε, εἰ πάλην οἶδας φέρειν,
Καὶ μισθὸν εἶχες παρὰ Κυρίου μέγαν.

Οὗτος ἦν Κίλιξ τὸ γένος, ἀπετάξατο δέ, ἔτι νέος ὤν, ἐν τῇ Μονῇ τοῦ Πενθουκλᾶ, τῇ οὔσῃ πλησίον τοῦ Ἰορδάνου, Πρεσβύτερος γεγονώς, καὶ εἰς αὐτὸ τὸ ἄκρον τῆς ἀσκήσεως φθάσας. Ἐπεὶ δὲ ἐγνώσθη τὰ περὶ τῆς αὐτοῦ θαυμαστῆς ἀρετῆς τῷ τότε Ἀρχιεπισκόπῳ Πέτρῳ, ἐτάχθη παρ᾽ αὐτοῦ βαπτίζειν πάντας τοὺς ἐν τῷ Ἰορδάνῃ προσερχομένους. Ἔχριεν οὖν αὐτοὺς καὶ ἐβάπτιζε. Καθότι οὖν ἔχριε γυναῖκα, ἐσκανδαλίζετο, καὶ διὰ τοῦτο ἐβούλετο ἀναχωρῆσαι τοῦ Κοινοβίου. Ὁσάκις οὖν ἔσχε λογισμὸν ἀναχωρῆσαι, ἐφίστατο αὐτῷ ὁ μακάριος Ἰωάννης ὁ Βαπτιστὴς καὶ Πρόδρομος τοῦ Κυρίου, λέγων· Καρτέρησον γέρων, καὶ κουφίζω σε τοῦ πολέμου.

Ἐν μιᾷ οὖν τῶν ἡμερῶν ἦλθε κόρη Πέρσισσα τοῦ βαπτισθῆναι· ἦν δὲ εὐειδὴς σφόδρα, καὶ τοσοῦτον ὡραία, ὥς τε μὴ δυνηθῆναι τὸν Ἅγιον γυμνὴν χρίσαι αὐτὴν τὸ ἔλαιον. Ποιησάσης οὖν δύο ἡμέρας, ἤκουσεν ὁ Ἀρχιεπίσκοπος περὶ τούτου, καὶ ἐξεπλάγη ἐπὶ τῷ Γέροντι, καὶ ἠθέλησεν ἀφορίσαι γυναῖκα ἐπὶ τούτῳ, ἀλλ᾽ οὐκ ἦν δυνατόν, διὰ τὸ μὴ δέχεσθαι τὸν τόπον. Ὁ δὲ Γέρων, λαβὼν τὸ μηλωτάριον αὐτοῦ, ἀνεχώρησεν εἰπών· ὅτι οὐκ ἔτι μενῶ ἐν τῷ τόπῳ τούτῳ. Ὑπαντᾷ δὲ αὐτῷ ὁ τίμιος Πρόδρομος ἔξωθεν τοῦ Κοινοβίου, καὶ λέγει αὐτῷ πραείᾳ τῇ φωνῇ· ὑπόστρεψον εἰς τὸ Μοναστήριόν σου, καὶ κουφίζω σε τοῦ πολέμου. Τότε ὁ Ἀββᾶς Κόνων λέγει αὐτῷ μετ᾽ ὀργῆς· Πίστευσον, ὅτι οὐχ ὑποστρέφω· πολλάκις γὰρ ὑπέσχου, καὶ οὐδὲν ἐποιήσας. Κρατήσας οὖν αὐτὸν ὁ θεῖος Πρόδρομος, καὶ ἀναμοχλεύσας τὰ ἱμάτια αὐτοῦ, ἐσφράγισε τῷ σημείῳ τοῦ σταυροῦ ὑποκάτω τοῦ ὀμφαλοῦ αὐτοῦ, καὶ εἶπεν αὐτῷ· Πίστευσόν μοι Ἀββᾶ Κόνων, ἤθελόν σε ἔχειν μισθὸν ὑπὲρ τοῦ πολέμου, νῦν δὲ ὑπόστρεψον, μηδὲν ἐνδοιάζων ἕνεκεν τούτου. Ὁ Γέρων οὖν ὑποστρέψας εἰς τὸ Κοινόβιον, τῇ ἐπαύριον χρίσας ἐβάπτισε τὴν Πέρσισσαν, μὴ θεωρήσας ὅτι γυνὴ ὑπῆρχεν. Ἐπιζήσας οὖν ὁ Ὅσιος ἄλλα εἴκοσι ἔτη, καὶ εἰς ἄκρον ἀπαθείας ἐλάσας, ὥστε νομίζεσθαι αὐτὸν ὑπὲρ ἄνθρωπον εἶναι, ἐν εἰρήνῃ ἐκοιμήθη.

## Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Ἀνιανοῦ.

Στίχ. Ἄνω ἔχων νοῦν Ἀνιανὸς ᾐρμένον,
Χριστῷ συνήφθη ὡς τῶν γηΐνων ξένος.

## Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῆς ὁσίας μητρὸς ἡμῶν καὶ μάρτυρος Φιλοθέης τῆς Ἀθηναίας. (†1589)

Στίχ. Ἡ Φιλοθέη τῶν τῇδε μεταστᾶσα,
Χαίρουσ' ἀνῆλθε πρὸς Μονὰς οὐρανίους.
Ὄρπηξ Ἀθηνῶν ἐστιν ἡ Φιλοθέη,
Ἐχθρὸν βαλοῦσα σταυροῦ τῇ πανοπλίᾳ.

Θαυμάσια εἶναι τῳόντι καὶ ἄξια διηγήσεως τῶν παλαιῶν Μαρτύρων τε καὶ Ὁσίων τὰ ἔνθεα κατορθώματα καὶ ἱκανὰ νὰ προσερεθίσουν καὶ νὰ διεγείρουν εἰς τὴν κατὰ δύναμιν μίμησιν καὶ τὰς πλέον ἀμελεῖς καὶ ῥαθύμους ψυχάς. Ἀλλ' ἡ ἔλλειψις (φεῦ!) τὴν σήμερον τῶν τοιούτων Ἁγίων κάμνει τοὺς ἀνθρώπους νὰ προφασίζωνται, καὶ τῷ τότε τάχα καιρῷ, οὐχὶ δὲ τῇ οἰκείᾳ προαιρέσει καὶ τῇ τοῦ Θεοῦ χάριτι νὰ ἀποδίδουν τὰ ἐκείνων ἆθλα καὶ τὰς ἀρετάς, διὰ τοῦτο περισσότερον πρέπει νὰ ἐκθειάζωνται ὅσοι καὶ ὅσαι κατὰ τοὺς παρόντας καιροὺς ἢ καὶ ὀλίγον πρὸ ἡμῶν τοῖς τῶν παλαιῶν ἴχνεσιν ἐπακολουθήσαντες, ἤτοι μὲ μαρτυρικὸν θάνατον, ἢ μὲ ἀσκητικὴν πολιτείαν ἐδόξασαν τὸν Θεόν, καὶ παρ' αὐτοῦ πλουσίως ἀντεδοξάσθησαν· οἶδε γὰρ Κύριος δοξάζειν τοὺς αὐτὸν ἀντιδοξάζοντας.

Μία κατ' ἐκείνους ἐχρημάτισε καὶ ἡ νῦν εἰς εὐφημίαν καὶ μνήμην προκειμένη Ἁγία, ἡ ὁποία ὡρμᾶτο ἐκ τῆς πόλεως Ἀθηνῶν, μητρὸς μὲν Συρίγης, πατρὸς δὲ Ἀγγέλου Μπενιζέλου τοὐπίκλην, ἀπὸ τοῦ ὁποίου τὸ γένος εἰσέτι καὶ νῦν διασώζεται ἐν Ἀθήναις, ἀμφοτέρων φιλευσεβῶν, εὐγενῶν καὶ πλουσίων. Μάλιστα ἡ εἰρημένη Συρίγα ὅσον εἶχε τὴν ἐξωτερικὴν περιφάνειαν καὶ πλουσιότητα, τόσον ἐπλούτει καὶ τὴν ἐσωτερικήν, οὖσα κατάκοσμος ἀπὸ διαφόρους ἀρετὰς καὶ τὸ πλέον ἀπὸ τὴν χριστομίμητον ἐλεημοσύνην· οὖσα δὲ στεῖρα καὶ ἄγονος καὶ περὶ τούτου ὡς εἰκὸς λυπουμένη, δὲν ἐπρόσδραμεν εἰς ἀνθρωπίνας τέχνας καὶ ἰατρείας, καθὼς ὁμοιοπαθεῖς γυναῖκες συνηθίζουν τὴν σήμερον, ἀλλὰ γενναίῳ φρονήματι μιμουμένη τὴν θεοχαρίτωτον ἐκείνην καὶ προφήτιδα Ἄνναν, κατέφυγε μετὰ πίστεως πρὸς τὴν παντοδύναμον καὶ πανάγαθον Ἰατρὸν καὶ εἰς τὴν μεσιτείαν τῆς Ἀειπαρθένου καὶ Θεοτόκου Μαρίας, ἐκλιπαροῦσα ταύτην θερμῶς νὰ διαλύσῃ τὴν ἐπώδυνον στείρωσιν· καί γε τῆς δεήσεως οὐ παρήκουσεν ὁ τὸ θέλημα τῶν φοβουμένων αὐτὸν ποιῶν Κύριος. Ἐν μιᾷ γὰρ τῶν ἡμερῶν εἰσελθοῦσα κατὰ τὸ εἰωθὸς αὐτῇ εἰς τὸν τῆς Θεοτόκου Ναὸν καὶ ἀπὸ τὸν κόπον τῆς συντόνου καὶ ἐπιμόνου προσευχῆς ἀποκοιμηθεῖσα ὀλίγον, βλέπει ὅτι ἐξῆλθεν ἐκ τῆς θεομητορικῆς εἰκόνος φῶς μέγα καὶ ἔκλαμπρον καὶ ἐμβῆκεν εἰς τὴν κοιλίαν της καὶ οὕτως ἀφυπνώσασα καὶ καθ' ἑαυτὴν κρίνουσα τὸ ὁραθέν, ἔλαβε πληροφορίαν, πῶς ἐπέτυχε τῆς αἰτήσεως, ὃ καὶ ἐγένετο· μετ' ὀλίγον γὰρ συλλαβοῦσα, ἐγέννησε θυγατέρα καὶ ἐπωνόμασε ταύτην Ρεβοῦλαν. Ἡ ὁποία ὡς τέκνον δι' εὐχῆς θεόθεν δεδωρημένον ἐξ ἁπαλῶν ὀνύχων προεμήνυε τὰ μετὰ ταῦτα ἐνάρετα αὐτῆς καὶ θεοειδῆ κατορθώματα καὶ ὅσον ηὔξανε κατὰ τὴν σωματικὴν ἡλικίαν, τόσον προέκοπτε καὶ κατὰ τὴν ψυχήν, ἔχουσα καὶ προσεχὲς τὸ παράδειγμα τῆς μητρός της καὶ ὡς δένδρον πεφυτευμένον παρὰ τῶν ὑδάτων τὰς διεξόδους, ἔσπευδε νὰ ἀποδώσῃ ἑκατονταπλασίονα τὸν καρπόν.

Λοιπὸν φθάσασα τὸν δωδεκαετῆ χρόνον τῆς ἡλικίας της, ἐζητήθη ἐπὶ γαμικῇ συζυγίᾳ παρά τινος τῶν τότε πρωτίστων τῆς πόλεως, ἀλλ' αὕτη ἡ ἀοίδιμος τρέφουσα πόθον εἰς τὴν καρδίαν της εἰς τὸ νὰ φυλάξῃ τὴν παρθενίαν καὶ ἀσκητικῶς νὰ πολιτευθῇ, τὸ μὲν πρῶτον ἀπέβαλε τὸ τέτοιον ζήτημα ὡς ἀπᾷδον εἰς τὸν θεοφιλῆ της σκοπόν. Ὕστερον δὲ ἀπὸ τὴν πολλὴν βίαν καὶ

τὰς ἐνοχλήσεις, ὅπου καθ' ἑκάστην οἱ γονεῖς αὐτῆς ἔκαμναν, δικαιολογούμενοι ὅτι δὲν ἔχουν διάδοχον ἕτερον τῆς ἐνούσης αὐτοῖς περιουσίας, ἔστερξε καὶ ἀκουσίως καὶ συνεζεύχθη νομίμῳ ἀνδρί, ὅστις μὲ τὸ νὰ ἔτυχε γνώμης σκληρᾶς καὶ σχεδὸν ἀπανθρώπου, τὴν ἔθλιβε καθημερινῶς μὲ διαφόρους κακώσεις καὶ τιμωρίας. Ἡ δὲ ἀείμνηστος ὑπομένουσα εὐχαρίστως ἕνα τοιοῦτον τύραννον καὶ ὄχι ὁμόζυγον, ἐπραγματεύετο παντοιοτρόπως τὴν σωτηρίαν καὶ τὴν διόρθωσίν του, ποτὲ μὲν τὸ Θεὸν παρακαλοῦσα νὰ μεταβάλῃ τοῦ τρόπου αὐτοῦ τὸ ἐκτεθηριωμένον καὶ φαῦλον, ποτὲ δὲ αὐτὸν ἐκεῖνον νουθετοῦσα καὶ διελέγχουσα· καὶ ἔτζι ἐπέρασε μετ' αὐτοῦ τρεῖς ὅλους χρόνους διὰ πολλῶν θλίψεων καὶ βασάνων, ἕως ὁποῦ ὁ Θεός, βλέπων τὴν ταύτης ὑπομονὴν καὶ τὸ ἐκείνου ἀμετανόητον, τὸν ἐθέρισε μὲ τὸ δρέπανον τοῦ θανάτου.

Ἡ δὲ Ἁγία μετὰ τὴν αὐτοῦ ἀποβίωσιν διέτριβε τοῦ λοιποῦ εἰς τὸ πατρικόν της ὁσπήτιον πρὸς ἕνα καὶ μόνον σκοπὸν ἀφορῶσα, τὸ πῶς νὰ εὐαρεστήσῃ εἰς τὸν Θεὸν μὲ ὅλα τὰ εἴδη τῆς ἀρετῆς, τὸν ὁποῖον καὶ καθικέτευε νυκτὸς καὶ ἡμέρας διὰ νὰ ἐνισχύσῃ εἰς ὃν καὶ πρότερον εἶχε σκοπόν, μὲ ὅλον ὁποῦ πάλιν οἱ γονεῖς της δὲν ἔπαυον ἀπὸ τοῦ νὰ τῆς προβάλλουν καθ' ἑκάστην καὶ δεύτερον γάμον, διότι ἐζητεῖτο ἐπιμόνως παρὰ πάντων τῶν ἐν τῇ πόλει περιφανῶν διά τε τὸ εὐγενὲς καὶ περιὸν τοῦ πλούτου· ἀλλ' ἦσαν πλέον «ἀδάμαντα παίοντες καὶ λίθον ἑψῶντες», κατὰ τὴν παροιμίαν· μάλιστα ὁποῦ αὕτη ἡ μακαρία ἀπὸ τὰς ἀδιαλείπτους καὶ ἐκτενεῖς ἱκεσίας καὶ προσευχάς, ὁποῦ ὡς θυσίαν αἰνέσεως τῷ Κυρίῳ προσέφερεν, ἠξιώθη καὶ θείας ὀπτασίας ἐπιστηριζούσης αὐτὴν εἰς τὴν θεοφιλῆ καὶ θεάρεστον γνώμην. Δέκα χρόνοι ἦσαν τῆς χηρείας της περασμένοι καὶ οἱ μὲν γονεῖς αὐτῆς ἀφέντες τὰς ἐν γῇ διατριβὰς ἀπέρασαν εἰς τὴν ἄλλην ζωήν, ἡ δὲ Ἁγία ἐλευθερωθεῖσα ἀπὸ τέτοια ἐμπόδια καὶ δοξάσασα τὸν Θεόν, ἤρξατο ἐν ταπεινοφροσύνῃ πνεύματος ἀσκητικωτέρας διαγωγῆς, νηστείαις, ἀγρυπνίαις καὶ προσευχαῖς σχολάζουσα καὶ ὡς φιλόπονος μέλισσα εἰργάζετο τὸ γλυκύτατον μέλι τῆς ἀρετῆς. Καὶ πρῶτον μὲν δι' ἐν ὁράματι ἐπιταγῆς τοῦ Ἁγίου Ἀνδρέου τοῦ Πρωτοκλήτου οἰκοδομεῖ Παρθενῶνα, ἐπ' ὀνόματι τούτου τοῦτον τιμήσασα, μὲ ἱκανὰ κελλία καὶ ἄλλα ἀναγκαῖα οἰκοδομήματα καὶ περιοχὰς καὶ τὸν ἐπροικοδότησε μὲ μετόχια καὶ ὑποστατικὰ ἱκανὰ πρὸς ἀναγκαίαν ζωοτροφίαν τῶν ἐν αὐτῷ μοναζουσῶν, ὁ ὁποῖος Παρθενὼν σῴζεται ἐν Ἀθήναις μέχρι τῆς σήμερον, Θεοῦ χάριτι, κατοικημένος ἀπὸ μοναζούσας παρθένους καὶ πλουτισμένος οὐ μόνον μὲ ὑποστατικὰ διάφορα καὶ μετόχια, ὡς προείρηται, ἀλλὰ καὶ μὲ πολυειδῆ χρυσοΰφαντα ἱερατικὰ καὶ σκεύη διὰ τὰς ἐτησίους ἱερὰς τελετὰς καὶ ὁλονυκτίας ὁποῦ ἐπιτελοῦνται καὶ πρὸ τούτων πάντων σεμνυνόμενος καὶ ἐγκαλλωπιζόμενος μὲ τὸν θησαυρὸν τοῦ τιμίου αὐτῆς καὶ ἁγίου Λειψάνου, τὸ ὁποῖον εἶναι ἀποτεταμιευμένον καὶ ἀποτεθειμένον εἰς τὸ δεξιὸν μέρος τοῦ Ἱεροῦ Βήματος, παρὰ πάντων εὐλαβῶς ἀσπαζόμενον, καὶ θαυμαστὴν ἀποπνέον τὴν εὐωδίαν εἰς ἐναργῆ μαρτυρίαν καὶ σημεῖον τῆς ἁγιότητος.

Ὕστερον δέ, μετὰ τὴν τοῦ Παρθενῶνος λέγω τελείωσιν, πρώτη αὕτη κειραμένη τὴν κόμην, Φιλοθέη μετονομασθεῖσα, ὡς ἐν σταδίῳ τῆς ἀσκήσεως αὐτῷ εἰσεπήδησε, συνεπαγομένη μεθ' ἑαυτῆς καὶ τὰς θεραπαινίδας, ὁποῦ εἶχε διατρίβουσα ἐν τῷ πατρικῷ αὐτῆς οἴκῳ, οὔσας παρ' αὐτῆς προκατηχημένας καὶ προπαρασκευασμένας εἰς τὴν κατὰ Θεὸν πολιτείαν· οὐ μὴν δὲ ἀλλὰ καὶ οὐκ ὀλίγαι τῶν ἐν τῇ πόλει περιβλέπτων παρθένων ἀσμένως ἀποτασσόμεναι τοῖς προσκαίροις καὶ φθειρομένοις τοῦ κόσμου

τούτου τερπνοῖς καὶ τὸ μοναχικὸν ἐνδυόμεναι Σχῆμα, ὑπὸ καθηγουμένῃ τῇ μακαρίᾳ τῇδε ὑπετάσσοντο καὶ ὑπέκυπτον. Διότι ποία ἀκούουσα τὰ ψυχοσωτήρια ἐκείνης καὶ γλυκύτατα λόγια ἢ ποία τὸ πρᾷον τῆς γνώμης καὶ τὴν πᾶσαν τῶν ἀγαθῶν σύρροιαν κατανοοῦσα δὲν ἤθελεν ἑλκυθῆ ὡς ὑπὸ μαγνήτου ὁ σίδηρος; Τὸ δὲ εἰς τοὺς δεομένους συμπαθὲς καὶ φιλάνθρωπον καὶ τὴν καθημερινὴν φροντίδα καὶ ἔγνοιαν, ὁποῦ εἶχεν ὑπὲρ αὐτῶν, ποιοῦσα καὶ λέγουσα μετὰ Παύλου, «τίς ἀσθενεῖ καὶ οὐκ ἀσθενῶ;» ποῖος ἤθελεν ἠμπορέσει ἀξίως νὰ ἐπαινέσῃ; Τὰ Νοσοκομεῖα καὶ Ξενοδοχεῖα, ὁποῦ ὀλίγον μακρὰν τοῦ Μοναστηρίου ἔκτισεν, εἶναι ἀρκετὸν τεκμήριον τῆς φιλοικτίρμονος ἐκείνης καὶ εὐσπλαγχνικωτάτης ψυχῆς, εἰς τὰ ὁποῖα εἰσερχομένη ἡ ἰδία αὐτὴ ἐπεσκέπτετο τοὺς διαφόροις νοσήμασι κατεχομένους, οὐ μόνον μὲ ὅλα τὰ πρὸς τροφὴν καὶ σωματικὴν ἀνάπαυσιν ἀναγκαῖα, ἀλλὰ καὶ μὲ παραμυθητικὰ καὶ εὐαγγελικὰ λόγια, διατρέφοντα τὴν ψυχήν, γινομένη τὰ πάντα τοῖς πᾶσι, ἵνα τοὺς πάντας κερδήσῃ, κατὰ τὸν Παῦλον ἢ τοὺς πλείονας.

Οὕτω γοῦν ὥστινος πηγῆς πολυχεύμονος ἐλέους καὶ συμπαθείας τῆς Ἁγίας γνωριζομένης καὶ λεγομένης καὶ πάντων τῶν χρῃζόντων πρὸς αὐτὴν συρρεόντων, συνέβη τὸ Μοναστήριον νὰ καταντήσῃ εἰς ἐσχάτην πτωχείαν καὶ αἱ ἐν αὐτῷ μονάζουσαι ἤρχισαν νὰ γογγύζουν κατὰ τῆς Ἁγίας καὶ νὰ μικροψυχοῦν διὰ τὴν στέρησιν τῶν πρὸς τὸ ζῆν ἀναγκαίων· ἀλλ᾽ ἡ θεοχαρίτωτος αὕτη δὲν ἔπαυεν ἀπὸ τοῦ νὰ τὰς νουθετῇ λέγουσα, ὅτι νὰ ἔχουν πίστιν εἰς τὸν Θεόν, τὸν καὶ τοὺς νεοσσοὺς τῶν κοράκων τοὺς ἐπικαλουμένους αὐτὸν διατρέφοντα καὶ νὰ στέκωσι στερεαὶ εἰς τὰ ἀψευδέστατα αὐτοῦ καὶ πανάγια λόγια, ὁποῦ λέγουν· «ζητεῖτε πρῶτον τὴν βασιλείαν τοῦ Θεοῦ καὶ τὴν δικαιοσύνην αὐτοῦ καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν». Τὸ ὁποῖον καὶ ἔγινε μετ᾽ ὀλίγας ἡμέρας ἐμπράκτως διὰ μέσου δύο ἀρχόντων, οἵτινες κατὰ θείαν νεῦσιν ἦλθον χάριν προσκυνήσεως εἰς τὸ Μοναστήριον καὶ ἔδωκαν τῇ Ἁγίᾳ μίαν πλουσιοπάροχον ἐλεημοσύνην καὶ ἔτζι αἱ ἀδελφαὶ ἐδόξασαν τὸν πλουτοδότην Θεὸν καὶ ἐθαύμασαν τὴν πρὸς αὐτὸν τῆς Ἁγίας ἀδίστακτον πίστιν.

Ἦσαν δὲ κατ᾽ ἐκεῖνο τοῦ καιροῦ ὑπὸ τοὺς Ἀγαρηνοὺς γυναῖκες αἰχμάλωτοι ἀπὸ διαφόρους τόπους ἐν ταῖς Ἀθήναις· ἀλλὰ τὴν συμπάθειαν καὶ φιλανθρωπίαν καὶ τοὺς πειρασμοὺς καὶ κινδύνους, ὁποῦ ὑπὲρ τῆς ἐκείνων σωτηρίας καὶ ἀναρρύσεως ὑπέμεινεν ἡ ἀείμνηστος, πᾶς λόγος ἀδυνατεῖ πρὸς ἀξίαν νὰ παραστήσῃ· ἡμεῖς ὅμως ἓν ἐκ πολλῶν εἰπόντες, θέλομεν κάμει τοὺς ἀναγινώσκοντας νὰ συμπεράνουν ποταπὴν ζέσιν καὶ πόθεν εἶχεν ἡ ὄντως φιλόθεος Φιλοθέη ὑπὲρ τῆς τῶν ἀδελφῶν σωτηρίας. Τέσσαρες γυναῖκες αἰχμάλωτοι ἀκούσασαι τὴν τῆς Ἁγίας φήμην καὶ εὐκαιρίας τυχοῦσαι, ἐδραπέτευσαν ἀπὸ τοὺς αὐθέντας τους, ὁποῦ τὰς ἐβίαζαν εἰς τὴν τῆς πίστεως ἐξάρνησιν καὶ κατέφυγον πρὸς αὐτήν. Ἡ ὁποία μὲ τὴν συνηθισμένην της εὐμένειαν καὶ φιλοφροσύνην αὐτὰς ὑποδεξαμένη, καὶ νουθετήσασα ἱκανῶς εἰς τὸ νὰ στέκουν ἀνδρεῖαι εἰς τοὺς ὑπὲρ πίστεως κινδύνους καὶ νὰ μὴ λυποῦνται πολλὰ διὰ τὴν δουλείαν, ἐπαρατηροῦσε καιρὸν ἁρμόδιον εἰς τὸ νὰ τὰς κατευοδώσῃ εἰς τὰς ἰδίας αὐτῶν πόλεις. Οὐ πολὺ τὸ ἐν μέσῳ καὶ οἱ κύριοι τῶν φυγάδων μαθόντες τὰ γενόμενα, ὥρμησαν ὡς ἄγριοι θῆρες εἰς τὴν κέλλαν τῆς Ἁγίας καὶ ἁρπάσαντες αὐτήν, καί τοι γε οὖσαν κλινοπετῆ ἡμέρας πολλάς, παρέστησαν τῷ τότε ἡγεμόνι, μουσουλμάνῳ καὶ αὐτῷ ὄντι, καὶ τὴν ἔβαλαν εἰς σκοτεινὴν φυλακήν. Ἡ δὲ

